www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΜΕΛΕΤΙΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΝΤΙΟΧΕΙΑΣ ΤΗΣ ΜΕΓΑΛΗΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ͂Ι ΙΒ΄ ΦΕΒΡΟΥΑΡΙΟΥ

---



www.tezaurliturgic.ro

Φεβρουαρίου ιβ'.

Μνήμη τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Μελετίου Ἀρχιεπισκόπου Ἀντιοχείας τῆς Μεγάλης.

---

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ.

Ἱστῶμεν Στίχους δ', καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τόν Ἱεράρχην Κυρίου θεῖον Μελέτιον, τιμήσωμεν συμφώνως, εὐσεβῶν αἱ χορεῖαι· οὗτος γάρ ἐν νόμῳ τῷ τοῦ Θεοῦ, μελετήσας ὡς γέγραπται, Ὀρθοδοξίας τόν πλοῦτον καρποφορεῖ, ὥσπερ δένδρον εὐθαλέστατον.

Τῆς ἐγκρατείας τῇ αὔρᾳ καταμαράνας σαφῶς, τό πῦρ τῶν παθημάτων, τήν οὐράνιον δρόσον, ἐδέξω ἐν καρδίᾳ Ἱερουργέ, δι' ἧς κόσμῳ ἀνέβλυσας, τῆς ἀληθείας τό ὕδωρ ὡς γλυκασμόν, ἐκ χειλέων σου Μελέτιε.

Ἱεραρχῶν ὡραιότης τῆς Ἐκκλησίας φωστήρ, τῆς ταπεινοφροσύνης, περιβόητον ὕψος, δογμάτων εὐσεβείας ὑφηγητής, πρακτικός ἀναδέδειξαι, τῶν Ἀποστόλων τόν ζῆλον τῇ καθαρᾷ, πολιτείᾳ σου δεξάμενος.

Τῆς Παναγίας Τριάδος τό ὁμοούσιον, πανσόφως δογματίζων, ὡς ἀκτίστου Μονάδος, κινδύνους καθυπέστης καί διωγμούς, Ἱεράρχα Μελέτιε, ὡς ὑπηρέτης τοῦ Λόγου παναληθής, ὅν ἱκέτευε σωθῆναι ἡμᾶς.

Δόξα. Ἦχος πλ. β'.

Ὅσιε Πάτερ, Ἱεράρχα Μελέτιε, σύ τῷ Σωτῆρι πειθαρχήσας, θείας γνώσεως νάματα, ἐκ τῆς κοιλίας σου ἔβλυσας, ὡς οὗτος ἔφη· ἐν οἷς τῶν αἱρετικῶν βυθίσας τό στράτευμα, τῆς Ἐκκλησίας τάς αὔλακας, κατά Δαβίδ ἐμέθυσας· διό τήν πανέορτον γεραίρει μνήμην σου.

Καί νῦν. Θεοτοκίον.

Θεοτόκε, σύ εἶ ἡ ἄμπελος...

www.tezaurliturgic.ro


'Απόστιχα.

Ἦχος β. Οἶκος τοῦ 'Εφραθᾶ.

Χάριτος τῆς καινῆς, τόν νόμον μελετήσας, νυκτός τε καί ἡμέρας, καινότητα ἐκτήσω, θείας ζωῆς Μελέτιε.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται...

Χάριν θεοφεγγῆ, τῶν θείων 'Αποστόλων, Μελέτιε πλουτήσας, τάς πενομένας φρένας, πλουτίζεις θείῳ Πνεύματι.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος...

Χάρις τῶν ἀρετῶν, τοῖς θείοις σου καμάτοις, καί πόνοις καί κινδύνοις, εἰς ὕψος θεωρίας, Μελέτιε σέ ὕψωσε.

Δόξα. Τριαδικόν.

Χάρις ἡ τοῦ Πατρός, καί Πνεύματος καί Λόγου, καθά καί ἡ οὐσία, μία ἐστι τήν κτίσιν, συνέχουσα καί αὔξουσα.

Καί νῦν. Θεοτοκίον.

Χάριτος θεϊκῆς, ἐδείχθης πρυτανεῖον, Παρθένε Θεοτόκε, χαρίτων χορηγίας, παρέχουσα τοῖς δούλοις σου.

Νῦν ἀπολύεις, τό Τρισάγιον, τό 'Απολυτίκιον ἐκ τοῦ Μεγάλου 'Εσπερινοῦ

Καί 'Απόλυσις.

'Εν τῷ Μεγάλῳ 'Εσπερινῷ.

Μετά τόν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δέ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Μελετήσας μακάριε, 'Ιεράρχα Μελέτιε, νόμον τόν σωτήριον καθώς γέγραπται, ξύλον ἐδείχθης ἐν ὕδατι, ἀσκήσεως κείμενον, καί καρπούς τῶν ἀρετῶν, προβαλλόμενον χάριτι, τοῦ φωτίσαντος, τήν ἁγίαν ψυχήν σου καί παντοίων, δεκτικήν ἐργασαμένου, πνευματικῶν ἐπιλάμψεων.

www.tezaurliturgic.ro



Ὡραιώθησαν πάνσοφε, Γραφικῶς σιαγόνες σου, ὡς τρυγόνες στέργουσαι τὴν ἐγκράτειαν, καὶ τὴν τρυφὴν διαπτύουσαι, ἐφέσει Μελέτιε, τῆς τρυφῆς τῆς νοητῆς· ἣν Χριστός σοι χαρίζεται, προσδεξάμενος, τοὺς πολλούς σου ἀγῶνας καὶ τὸν ζῆλον, τὸν διάπυρον ὃν ἔσχες, προκινδυνεύων τῆς πίστεως.

Ἐγκρατείᾳ ἐμάρανας, τῆς σαρκὸς τὰ σκιρτήματα, καὶ παθῶν Μελέτιε κατεκράτησας· καὶ ἀπαθείας λαμπρότητι, σεαυτὸν ἐφαίδρυνας, καὶ ἁγνῶς καὶ καθαρῶς, τῷ Χριστῷ ἱερούργησας· ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Τῇ σαρκὶ καθ' ὑπόστασιν, ἑνωθέντα τὸν ἄσαρκον, καὶ Πατρὶ συνάναρχον Λόγον πάνσοφε, δίχα τροπῆς καὶ συγχύσεως, σοφῶς ἐδογμάτισας· ἐνεργοῦντα δὲ διττῶς, καταλλήλως ταῖς φύσεσιν, ἐξ ὧν σύγκειται, καὶ ἐν αἷς θεωρεῖται εἷς ὑπάρχων, ἀδιαίρετος τῷ ὄντι, τοῦτο κἀκεῖνο νοούμενος.

Προσόμοια ἕτερα.

Ἦχος β'. Ποίοις εὐφημιῶν στέμμασι.

Ποίοις εὐφημιῶν στέμμασι, στεφανώσωμεν τὸν Ἱεράρχην; τὸν τῶν Ἀποστόλων ὁμότροπον, καὶ τῆς εὐσεβείας τὸν πρόβολον, τῶν Ἀντιοχέων τὸν φωστῆρα· τὸ θρέμμα, τοῦ Ἀρχιποίμενος τὸ γνήσιον· τὸν φίλον, τοῦ Θεοῦ Λόγου καὶ θεράποντα· τοῦτον γὰρ ὄντως ποιμένα, λογικῶν προβάτων, προχειρίζεται ὁ Χριστός, τῇ θείᾳ χρηστότητι, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ᾀσματικοῖς ῥήμασιν, ἐπαινέσωμεν τὸν Ἱεράρχην; τὸ τοῦ Παρακλήτου κειμήλιον, καὶ τῶν ἀρετῶν ἐνδιαίτημα, τῶν Ἀρχιερέων τὸν λαμπτῆρα· τὸν στῦλον, τῆς Ἐκκλησίας τὸν ἀκράδαντον· τὴν γλῶσσαν, τῆς ἀληθείας τὴν μελίρρυτον, τῆς θεϊκῆς ἐπιπνοίας, τὸ λαμπρὸν δοχεῖον, τὸ προχέον διὰ παντός, δογμάτων ὀρθότητα, τὸν θεόληπτον Μελέτιον.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἀνυμνήσωμεν τὸν Ἱεράρχην; τὸν ἐκ τῆς Ἑῴας ἐκλάμψαντα, καὶ τοὺς δυσσεβεῖς ἀμαυρώσαντα, τὸν τῶν εὐσεβῶν καθηγεμόνα· τὸ ξίφος, τὸ κατασφάξαν Μακεδόνιον· τὸ βέλος, τὸ κατατρῶσαν τὸν Σαβέλλιον, τὸν τὴν Ἀρείου μανίαν, καταβεβληκότα, καὶ ὁμότιμον τῷ Πατρί, καὶ Πνεύματι

www.tezaurliturgic.ro


σύνθρονον, τόν Υἱόν ὁμολογήσαντα.

Ποίοις οἱ γηγενεῖς χείλεσι, μακαρίσωμεν τόν Ἱεράρχην; τόν νυχθημερόν μελετήσαντα, νόμον τοῦ Θεοῦ τόν σωτήριον, καί δικαιοσύνην στολισθέντα· τόν ποίμνης, τῆς ἑαυτοῦ προκινδυνεύσαντα, καί πλείστους, πόνους καί θλίψεις ὑπομείναντα, καί τῶν Πατέρων ἐν μέσῳ, τῆς σεπτῆς Συνόδου, ὥσπερ ἥλιον φωταυγῆ, ὀφθέντα καί λύσαντα, τῆς ἀπάτης τήν σκοτόμαιναν.

Δόξα. Ἦχος πλ. δ'.

Μελέτην σοφίας τόν βίον σου θέμενος, πρός γνῶσιν ἀληθείας, τούς πιστούς διήγειρας, θεοφόρε Μελέτιε· τῆς ἱερωσύνης γάρ τήν στολήν ἐνδυσάμενος, τήν ἐν Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι, μίαν Θεότητα, ὁμοούσιον καί σύνθρονον, διετράνωσας τοῖς πέρασιν, ἀσυγχύτως τῇ φύσει ἑνουμένην, καί ἀτμήτως τοῖς χαρακτῆρσι διαιρουμένην. Ὅθεν τῶν λόγων τήν ἀκρίβειαν, τῆς πολιτείας τῷ τρόπῳ βεβαιώσας, τῆς πίστεως τό τάλαντον, ὡς πιστός οἰκονόμος ἐπλεόνασας· καί νῦν πρέσβευε ἀπαύστως, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Ὁ αὐτός.

Ὁ Βασιλεύς τῶν οὐρανῶν, διά φιλανθρωπίαν, ἐπί τῆς γῆς ὤφθη, καί τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γάρ Ἁγνῆς, σάρκα προσλαβόμενος, καί ἐκ ταύτης προελθών μετά τῆς προσλήψεως, εἷς ἐστιν Υἱός, διπλοῦς τήν φύσιν, ἀλλ' οὐ τήν ὑπόστασιν· διό τέλειον αὐτόν Θεόν, καί τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστόν τόν Θεόν ἡμῶν· ὅν ἱκέτευε Μῆτερ Ἀνύμφευτε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου, κε' Ἰανουαρίου.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α'.

Τῆς εὐσεβείας ὑπέρμαχος, Ἱεράρχα Μελέτιε, ἀληθῶς ἀναδέδειξαι· τόν γάρ παράφρονα Ἄρειον, τόν εἰς κτίσιν τόν Υἱόν καταγαγόντα τοῦ Θεοῦ, καί τόν Πνευματομάχον Μακεδόνιον, οἷα λύκους βαρεῖς, τῇ σφενδόνῃ τῶν δογμάτων σου

www.tezaurliturgic.ro


τῆς ποίμνης τοῦ Χριστοῦ ἐξώθησας, καί τῆς ὁμοουσίου Τριάδος τό ὁμόδοξον, ὀρθῶς ἀνεκήρυξας. Διό τῶν πόνων σου τήν ἀντάμειψιν, ἐν τῇ ἀϊδίῳ δόξῃ καρπούμενος, ἀπαύστως ἱκέτευε, ὑπέρ τῶν τιμώντων σε.

Ἦχος β΄.

Ἀποστολικῶς διαπρέψας, τῆς ἱερωσύνης τῇ λυχνίᾳ ἀνέλαμψας, Ἱεράρχα Μελέτιε· ὅθεν τῇ τοῦ βίου σου λαμπρότητι, τῶν αἱρετικῶν τήν μανίαν ἤμβλυνας, τῶν ἱερῶν παραδόσεων φύλαξ γενόμενος· τήν ἀληθῆ γάρ ἐμμελετῶν δικαιοσύνην, τῆς ἀφθαρσίας τά δόγματα, ἐν ταῖς πλαξί τῶν καρδιῶν ἐγχαράττεις, τῷ καλάμῳ τοῦ λόγου σου, καί πρεσβεύεις ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Τόν Ἱεράρχην Χριστοῦ, Μελέτιον τόν θεῖον, ἐπαξίως τιμήσωμεν· θεοπρεπῶς γάρ πολιτευσάμενος, τῆς πνευματικῆς γνώσεως κρατήρ γέγονεν· ἐξ οὗ ἡ σεπτή Ἐκκλησία, τῆς Ὀρθοδοξίας ἀντλοῦσα τά νάματα, τῆς ὁμοουσίου Τριάδος, καρποφορεῖ τήν ἐπίγνωσιν· Ἀλλ' ὦ παμμάκαρ Μελέτιε, ἐν οὐρανίοις ἀδύτοις περιπολῶν, ἐπιγείων πειρατηρίων ἀπάλλαξον, τούς τελοῦντας τήν μνήμην σου.

Ἦχος δ΄.

Τούς ἀσκητικούς σου πόνους, Μελέτιε ἔστεψας, τοῖς ὑπέρ τῆς ἀληθείας, ἀνενδότοις ἀγῶσιν· ὅθεν ἀμφοτέρωθεν διαλάμπων, τήν δοθεῖσάν σοι χάριν πρακτικῶς ἐγεώργησας· δι' ἧς τό λογικόν σου ποίμνιον ἐκθρέψας, εἰς τό ἐπουράνιον, θυσιαστήριον ἐν χαρᾷ προσεχώρησας· διό τάς ἱλαστηρίους δεήσεις μή παύσῃ ἀναφέρων, τῷ τῶν ὅλων Σωτῆρι καί Θεῷ, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. α΄.

Τήν ἱεραρχικήν διπλοΐδα σου, τοῖς ἱεροῖς καμάτοις, λαμπροτέραν εἰργάσω Μελέτιε· σύ γάρ ὡς ὑπηρέτης τοῦ Λόγου, τῆς οἰκονομίας αὐτοῦ τό μυστήριον, εὐσεβῶς ἐδογμάτισας· ὅθεν τῇ δρεπάνῃ τῆς πίστεως, τῶν αἱρετικῶν ἀνασπάσας τά ζιζάνια, τῆς ὀρθῆς διδασκαλίας, ἐκαλλιέργησας τήν ἄρουραν· διό ἡ οὐράνιος ἀπόλαυσις, ἀντί τῶν μακρῶν σου πόνων, λαμπρῶς σε διεδέξατο· ὅπου γάρ ὁ Χριστός, ὡς διάκονος αὐτοῦ, ἐκεῖ κατεσκήνωσας.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε...

www.tezaurliturgic.ro



Εἰς τόν Στίχον, Στιχηρά Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις Ἱεραρχῶν ἡ κρηπίς, Ὀρθοδοξίας ἡ κιθάρα ἡ εὔσημος, ἡ ἅπασιν ἐνηχοῦσα, τῆς Ὑπερθέου ἀρχῆς, τήν μίαν οὐσίαν καί Θεότητα, Πατρί καί τῷ Λόγῳ, καί τῷ Πνεύματι Ὅσιε, γνωριζομένην, συναΐδιον σύνθρονον, καί ὁμόδοξον τῇ θελήσει καί χάριτι· ὅθεν καί τά ἀπύλωτα, ἐνέφραξας στόματα, Μακεδονίου Ἀρείου, καί Σαβελλίου τοῦ ἄφρονος, Χριστόν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ. Τό στόμα μου λαλήσει σοφίαν...

Φέγγει τῆς ἀκηράτου ζωῆς, διασκεδάσας τῶν παθῶν τήν σκοτόμαιναν, ἐδέξω ἐν τῇ ψυχῇ σου, τάς θεΐκάς ἀστραπάς, δι' ὧν ὥσπερ λύχνος διαυγέστατος, τῷ κόσμῳ ἐξέλαμψας ἀκριβῶς μιμησάμενος, Δαβίδ τό πρᾶον, Σολομῶντος τήν σύνεσιν, καί τοῦ σώφρονος, Ἰωσήφ τήν λαμπρότητα· ὅθεν Πέτρου ὁμότροπος, ὡς θρόνου διάδοχος, ὁμολογίᾳ καί ζήλῳ, ἀναδειχθείς συνδεδόξασαι, Χριστοῦ Ἀποστόλοις, ἐξαιτούμενος τοῖς πᾶσι, τό μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται...

Χαίροις ὁ μελετήσας σοφῶς, Εὐαγγελίου τά σωτήρια ρήματα, καί νόμον τόν τῆς εἰρήνης, ἐν ταῖς πλαξί τῶν ψυχῶν, μυστικῷ δακτύλῳ ἐγγραψάμενος· δι' οὗ ἐναπέξεσας, ἀνομίας τήν ἄκανθαν, ὡς οἰκονόμος, τῶν θρεμμάτων τοῦ Πνεύματος, καί ὁμότροπος, Ἀποστόλων Μελέτιε· ὅθεν καί τόν οὐράνιον, ψυχῶν ἐν ταῖς αὔλαξι, καταβαλλόμενος σπόρον, ζωῆς ἐδρέψω τόν ἄσταχυν, αἰτούμενος πᾶσιν, ἱλασμόν καί σωτηρίαν, καί μέγα ἔλεος.

Δόξα. Ἦχος δ'.

Τήν ἱερωσύνην ὁμολογίᾳ λαμπρύνας, τῇ Ὀρθοδοξίᾳ τήν Ἐκκλησίαν κρατύνας, Ἱεράρχα Μελέτιε· ὅθεν στῦλον καί ἑδραίωμα, καί πίστεως ὅρον σε γινώσκοντες, ἐκ τοῦ καρποῦ τῶν χειλέων σου, δαψιλῶς ἐμφορούμεθα· σύ γάρ Ἀποστολικῆς χάριτος μετασχών, τήν Τριάδα ἐν μιᾷ τῇ Θεότητι κηρύττεις, καί πρεσβεύεις ἀπαύστως, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

www.tezaurliturgic.ro



Νῦν ἀπολύεις, τό Τρισάγιον, καί τό Ἀπολυτίκιον.

Ἦχος γ΄. Θείας πίστεως.

Νόμον ἔνθεον, ἐμμελετήσας, τήν οὐράνιον, γνῶσιν ἐκλάμπεις, τῇ Ἐκκλησίᾳ Ἱεράρχα Μελέτιε· τήν γάρ Τριάδα κηρύττων ὁμότιμον, αἱρετικῶν διαλύεις τάς φάλαγγας. Πάτερ Ὅσιε, Χριστόν τόν Θεόν ἱκέτευε, δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

Θεοτοκίον.

Σέ τήν μεσιτεύσασαν...

Ἀπόλυσις.

Εἰς τόν Ὄρθρον.

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.

Τόν νόμον μελετῶν, τόν τῆς χάριτος Πάτερ, τόν νόμον τῆς σαρκός, ὑπερεῖδες πανσόφως, καί νόμων τῶν τοῦ Πνεύματος, θησαυρός ἀναδέδειξαι, ἐκλυτρούμενος, ἀνομιῶν πολυτρόπων, τούς γεραίροντας, τήν φωτοφόρον σου μνήμην, Μελέτιε Ὅσιε.

Δόξα. Ὅμοιον.

Κινδύνους ὑποστάς, ἐξορίας καί θλίψεις, προθέμενος σαυτόν, ὑπέρ τοῦ σοῦ ποιμνίου, Χριστοῦ τοῦ τοῖς παθήμασιν, ἱερῶς ἐκοινώνησας· ὅθεν σύγκληρος, καί τῆς αὐτοῦ βασιλείας, ἀναδέδειξαι, διά παντός ἱκετεύων, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Ὁ πάλαι Ἀββακούμ, προτεθέαται ὄρος, κατάσκιον Ἁγνή, ἀρεταῖς οὐρανίοις, σύ εἶ Θεοχαρίτωτε, ἀπειράνδρως γεννήσασα, τόν πηξάμενον, πόλον καί γῆν ἀσαλεύτως, καί στηρίζοντα, τῶν εὐσεβῶν τάς καρδίας, τῇ βάσει τῆς πίστεως.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Τήν ὡραιότητα.

Σοφίας ἔλλαμψιν, Πάτερ δεξάμενος, πίστεως πρόμαχος, σαφῶς γεγένησαι, μίαν οὐσίαν ἐν τρισί, κηρύττων ὑποστάσεσιν· ὅθεν ὥσπερ ἥλιος, ἐν Συνόδῳ ἐξέλαμψας, καί τόν Μακεδόνιον, τοῖς σοῖς λόγοις κατέπαυσας, Ποιμένων προηγούμενος πάντων, τῇ σῇ προσούσῃ θείᾳ χάριτι.

www.tezaurliturgic.ro


Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Τήν ἀκατάφλεκτον, βάτον ὑμνήσωμεν, ἐξ ἧς ἐπέφανε, Χριστός ὁ Κύριος, καί κατεφώτισεν ἡμᾶς, ἀκτῖσι τῆς Θεότητος, Χαῖρε ἀνακράζοντες, πρός αὐτήν μετά πίστεως, θρόνε ἡλιόμορφε, τοῦ Δεσπότου τῆς κτίσεως, Ἀγγέλων καί ἀνθρώπων τό ξένον, Παρθενομῆτορ συναπτήριον.

Μετά τόν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ'. Τήν Σοφίαν καί Λόγον.

Ἀποστόλων τόν ζῆλον πεπλουτηκώς, εὐσεβείας τόν λόγον μυσταγωγεῖς, εἰς κόσμου τά πέρατα, ἀθεΐας τόν καύσωνα, τῆς πίστεως τῇ δρόσῳ, ἐξαίρων ἑκάστοτε, τήν μίαν τῆς Τριάδος, κηρύττων Θεότητα· ὅθεν τῆς σῆς ποίμνης, διωχθείς παρανόμως, εἰς τέλος ἐδίωξας, δυσσεβῶν τήν ἀπόνοιαν, Ἱεράρχα Μελέτιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Ἀρετῶν ἀπορρήτων περιοχή, οὐρανίων χαρίτων σφαῖρα καινή, θεόγλυπτον ἄγαλμα, παρθενίας κειμήλιον, Τριαδικῶν ἀκτίνων, τό πρώτιστον πλήρωμα, ἡ τῆς οἰκονομίας, τοῦ Λόγου ἐκπλήρωσις, σύ μόνη ἀνεδείχθης, Θεοτόκε Παρθένε, ἐν μέσῳ ἐκλάμπουσα, ἀκανθώδους συγχύσεως, ὥσπερ κρίνον μυρίπνοον, ὀσμήν ζωαρχικήν τοῖς ἐν γῇ, δωρουμένη προμηθείᾳ κρείττονι, καί ὀσμήν τοῦ θανάτου, τελείως σκεδάζουσα.

Τό Ἀντίφωνον τοῦ δ' ἤχου καί τό Προκείμενον.

Τό στόμα μου λαλήσει σοφίαν, καί ἡ μελέτη τῆς καρδίας μου σύνε

Στίχ. Ἀκούσατε ταῦτα πάντα τά ἔθνη...

Εὐαγγέλιον Ἱεραρχικόν.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεός, κατά τό μέγα ἔλεός σου...

Πάτερ Ἱεράρχα Μελέτιε, σύ ὡς πνευματικός στρατηγός, ἐν τῷ Εὐαγγελίῳ τῆς εἰρήνης, μέχρις αἵματος ἐκακοπάθησας· σύ καί τοῖς ὅπλοις τῆς χάριτος, τῶν

www.tezaurliturgic.ro



ἀπειθούντων ἐτροπώσω τό στράτευμα· διό δόξα οὐράνιός σοι δέδοται, καί νίκης στέφος ἐπλάκη σοι· πρέσβευε οὖν ὑπέρ ἡμῶν, Χριστῷ τῷ Βασιλεῖ τῆς κτίσεως.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου...

Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου, τοῦ Ἁγίου ἐκ τοῦ Μηναίου, καί ὁ ἑξῆς δεύτερος οὗ ἡ ἀκροστιχίς.

"Τόν Θεῖον Μελέτιον ὑμνέω. Γερασίμου".

Ὠδή α'. Ἦχος πλ. α'. Ἵππον καί ἀναβάτην.

Τρόποις θεοσεβείας, καί ἤθεσιν ἱεροῖς, τήν ψυχήν σου κοσμήσας ἱερωσύνης χρίσματι, Μελέτιε ἔλαμψας· διό φωταγώγησον, τούς τελοῦντας τήν θείαν μνήμην σου.

Ὅλην σου τήν καρδίαν, ἀπό νεότητος, τῶν γηΐνων χωρίσας τῷ Ζωοδότῃ δέδωκας· διό μονή ἔμψυχος, Πατρός Υἱοῦ καί Πνεύματος, ἀνεδείχθης Πάτερ Μελέτιε.

Νάμασιν εὐσεβείας, περικλυζόμενος, ποταμός ἐγνωρίσθης τοῦ Πνεύματος Μελέτιε, οὗπερ τά ὁρμήματα, νοητῶς εὐφραίνουσι, καθάπερ πόλιν τήν Ἐκκλησίαν Χριστοῦ.

Θεοτοκίον.

Θρόνος λελαμπρυσμένος, καί ὑψηλότατος, ἀνεδείχθης ἐν κόλποις βαστάζουσα Θεόνυμφε, Λόγον τόν ἑδράσαντα, πάντα θείῳ νεύματι, καί κρατοῦντα καί περιέχοντα.

Ὠδή γ'. Ὁ πήξας ἐπ' οὐδενός.

Ἐκλάμπεις ἐφ' ὑψηλῆς, λυχνίας Μελέτιε, ἀρχιερωσύνης τό φῶς δεξάμενος, καί φωτοποιοῖς σου διδαχαῖς, ἰθύνας πρός τό φέγγος, τῶν προσταγμάτων τοῦ Κτίσαντος, τούς ἐν ἀμελείᾳ καθεύδοντας.

Ἱέρευσας εὐσεβῶς, παμμάκαρ Μελέτιε, τῷ δι' εὐσπλαγχνίαν ἐνανθρωπήσαντι, ὅν καθωμολόγεις τῷ Πατρί, σύμμορφον τῇ οὐσίᾳ, οἷα Υἱόν καί ἀπαύγασμα, Πάτερ τῆς αὐτοῦ ὑποστάσεως.

Ὁμότιμον τῷ Πατρί, καί Λόγῳ Μελέτιε, Πνεῦμα τό Πανάγιον ἀνεκήρυξας, δι' οὗ τελειούμεθα πιστῶς, πλούτῳ φιλανθρωπίας, καί τῆς ἀφράστου θεώσεως, τάς μαρμαρυγάς κομιζόμεθα.

www.tezaurliturgic.ro


Θεοτοκίον.

Νόμος καί οἱ Προφῆται,ἤδη πρόδρομον,τόν Χριστόν τεκούσης σου Πανμακάριστε,τόν ἐν ταῖς ἀρχαίαις γενεαῖς,τύποις καθορασθέντα,καί ἐπ'ἐσχάτων τά σύμβολα,τά ἐσκιασμένα πληρώσαντα.

Κάθισμα ἐκ τοῦ Μηναίου.

'Ωδή δ.'Τήν θείαν ἐννοήσας σου.

Μελέτην τά σεπτά δικαιώματα,Χριστοῦ ποιούμενος ἀεί,δικαιοσύνης ἀπέσταξας,ὑπέρ κηρίον καί μέλι,τόν θεῖον γλυκασμόν ἐν τοῖς πέρασιν.

'Εδίωξας 'Αρείου τήν αἵρεσιν,ἐκδιωκόμενος ἀεί,τῆς'Εκκλησίας Μελέτιε,καί τῆς'Αγίας Τριάδος,ὀρθῶς τήν Μοναρχίαν ἐτράνωσας.

Λαμπρός μέν τῇ μορφῇ καί τῷ βίῳ σου,τῇ 'Εκκλησίᾳ ὀφθείς,τῷ ζήλῳ ὤφθης λαμπρότερος,τούς ἱερεῖς τῆς αἰσχύνης,ρομφαίᾳ κατασφάξας τοῦ λόγου σου.

Θεοτοκίον.

'Εκύησας ἁγνῶν ἐξ αἱμάτων σου,ὅν πρό αἰώνων ὁ Πατήρ,ἀνερμηνεύτως ἐγέννησεν,ἡμῖν δωρούμενον Κόρη,τήν θείαν ἀληθῶς ἀναγέννησιν.

'Ωδή ε.'Ο ἀναβαλλόμενος.

Τήν τοῦ θείου Πνεύματος,δύναμιν εἵλκυσας,ἐν τῇ ἀνοίξει τοῦ στόματός σου·ὅθεν ἀπεστόμωσας,τούς τήν θείαν δόξαν,αὐτοῦ κατασμικρύνοντας.

'Ιεράρχης ὅσιος,Λειτουργός ἔνθεος,τῆς τοῦ Σωτῆρος οἰκονομίας,Πάτερ ἐχρημάτισας,τῇ ἄνωθεν ψήφῳ,ὡς τῆς σοφίας ὄργανον.

'Ομοουσιότητα,τῆς ἐν Πατρί καί Πνεύματι,καί Λόγῳ συναϊδίῳ,'Υπερθέου φύσεως,Μελέτιε Πάτερ,θεολογῶν ἐκήρυξας.

Θεοτοκίον.

Νόμοι ἐν σοί φύσεως,λέλυνται Ἄχραντε·σύ γάρ ἀσπόρως ἀποτεκοῦσα,τόν τῆς δόξης Κύριον,ἔμεινας Παρθένος,'Αγνή καί μετά γέννησιν.

'Ωδή στ.'Μαινομένην κλύδωνι.

'Υψωθείς Μελέτιε,ἐν καθέδρᾳ Πάτερ ὑψηλῇ,τόν τῆς δόξης Κύριον ἐδόξασας βίου τοῦ σοῦ,τοῖς ἱεροῖς κατορθώμασι.

www.tezaurliturgic.ro



Μυστηπόλος ἄριστος,τῆς Τριάδος Πάτερ γεγονώς,ἐν ὑπερορίᾳ προσπελάσας,ὡς ἀκραιφνής,τοῦ Θεοῦ Λόγου ὑπέρμαχος.

Νέκρωσιν ζωήρρυτον,κεκτημένος βίῳ καθαρῷ,ἀρχιερωσύνης ὤφθης πρότυπον,ὡς μιμητής,τῶν Ἀποστόλων Μελέτιε.

Θεοτοκίον.

Ἐκ Σιών ἐξέλαμψε,τῆς ἀφθόρου Κόρης σου γαστρός,ὁ τεθείς θεμέλιος ἀκρόγωνος,ἐν τῇ καινῇ,Σιών Χριστός ὁ Θεός ἡμῶν.

Κοντάκιον κ.τ.λ.ἐκ τοῦ Μηναίου.

Ὠδή ζ.'Ο ὑπερυψούμενος.

Ὤφθης ἀπερίτρεπτος,στῦλος καί ἑδραίωμα,τῆς πίστεως Ὅσιε,στηρίζων ἑκάστοτε,θεμελίῳ ἀσαλεύτῳ,εὐσεβῶν τάς διανοίας.

Γλώσσῃ θεοφθόγγῳ σου, συνδέσμους αἱρέσεων,διέλυσας Ὅσιε,καί πάντας συνήρμοσας,σῷ φρονήματι τῷ θείῳ,ὡς σοφός ἱερομύστης.

Ἔλαμψας Μελέτιε,ὡς ποιμένων πρόκριτος,καί μύστης οὐράνιος,σοφῶν ἀναβάσεων,ἐν Συνόδῳ τῇ Δευτέρᾳ,Θεηγόρε Ἱεράρχα.

Θεοτοκίον.

Ρεῖθρον τό ἀθάνατον,ὡς ἐκ κρήνης ἔβλυσεν,Ἁγνή ἐκ νηδύος σου,καί πάντας ἐζώωσε,τούς ἐνθέως μελῳδοῦντας·ὁ Θεός εὐλογητός εἶ.

Ὠδή η.Σοί τῷ Παντουργῷ.

Ἅλας νοητόν,ὡς ἔφη ὁ Δεσπότης,ἐγένου Μελέτιε,καί ἀπεξήρανας,τάς σηπεδόνας,,ψυχῶν τῶν ἐν αἱρέσει,ἅπασιν ὑγείαν,δωρούμενος κατ'ἄμφω.

Σύνοδος σεπτή,σοφόν καθηγεμόνα,καί θεῖόν σε πρόμαχον,κατaπλουτήσασα,Πνευματομάχων,τήν ἔπαρσιν ἀμβλύνει,καί τήν μίαν φύσιν,Τριάδος δογματίζει

Ἱεραρχικαῖς,στολαῖς ἠγλαϊσμένος,δογμάτων ὀρθότητα,Πάτερ Μελέτιε,ἐν τῇ Συνόδῳ,ἐκλάμπεις τῇ Δευτέρᾳ,καί κατaπυρσεύεις,Χριστοῦ τήν Ἐκκλησίαν.

Θεοτοκίον.

Μίαν Ἀγαθή,ὑπόστασιν τελείαν,ἐν δυσί ταῖς φύσεσι,καί ἐνεργείαις τε,τόν Βασιλέα,τεκοῦσα τῶν αἰώνων,ἔλυσας τοῦ Ἅδου,τήν τυραννίδα Κόρη.

www.tezaurliturgic.ro



'Ωδή θ'. 'Ησαΐα χόρευε.

Ὅλος ἀνακείμενος, τῷ Δεσπότῃ Πάτερ ἐκ παιδός, πόθῳ ἠκολούθησας τοῖς αὐτοῦ, Μελέτιε ἴχνεσι, μυσταγωγός καί ὑφηγητής, γενόμενος Ὅσιε, τῆς αὐτοῦ συγκαταβάσεως.

Ὑποπλεύσας Ὅσιε, τό τοῦ βίου πέλαγος σοφῶς, προσώρμισας τῷ ὅρμῳ τῷ γαληνῷ, ταῖς αὔραις τοῦ Πνεύματος, τῆς αἰωνίου Πάτερ ζωῆς, Μελέτιε ἔνδοξε, θείας δόξης ἀξιούμενος.

Μύρον ὡς εὐπρόσδεκτον, καί εὐῶδες ἄρωμα σοφέ, δέχου ἐκ χειλέων μου ἐναγῶν, τουτί δή τό ψέλλισμα, ἀντιδιδούς μοι ὡς συμπαθής, Ἱεράρχης Ὅσιε, τῶν πταισμάτων τήν συγχώρησιν.

Θεοτοκίον.

Μυστηρίου Δέσποινα, ἀπορρήτου ὤφθης ἀπαρχή, ὡς ἐκλελεγμένη τῷ Λυτρωτῇ, πρό πάσης τῆς κτίσεως, καί ἀνωτέρα τῶν οὐρανῶν· ἐκ σοῦ γάρ ἐπλήρωσεν, ὁ Υἱός βουλήν τοῦ Φύσαντος.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἱεραρχῶν ἀγλάϊσμα, Ὀρθοδοξίας στήριγμα, τῶν ἀρετῶν ἁρμονία, καί τῶν ποιμένων ἀκρότης, Μελέτιε γενόμενος, ὡς Ἱεράρχης ὅσιος, ὑπέρ ἡμῶν ἱκέτευε, τῶν ἐκτελούντων προφρόνως, τήν φωτοφόρον σου μνήμην.

Θεοτοκίον.

Θεόν ἀσπόρως τέξασα, τόν ἐκ φθορᾶς ρυσάμενον, τήν τῶν ἀνθρώπων οὐσίαν, Παρθενομῆτορ Μαρία, φθοροποιῶν με λύτρωσαι, παθῶν τῶν συνθλιβόντων με, καί ἴθυνόν με δέομαι, πρός μετανοίας τάς τρίβους, ὡς πέλαγος συμπαθείας.

Εἰς τούς Αἴνους.

Ἱστῶμεν Στίχους δ', καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος!

Πάτερ ἱερέ Μελέτιε, καταυγασθείς τήν ψυχήν, ταῖς ἐνθέοις ἐλλάμψεσιν, ὡς φωστήρ ἀνέτειλας, σελασφόρος τῆς πίστεως, καταπυρσεύων κόσμου τά πέρατα, Ὀρθοδοξίας τοῖς ἀπαυγάσμασιν· ὅθεν ὡς σκεῦός σε, τοῦ φωτός γεραίρομεν, κα

www.tezaurliturgic.ro

κοινωνόν, βασιλείας "Οσιε, τοῦ Παντοκράτορος.

Πάτερ παμμάκαρ Μελέτιε, ταῖς τῶν ἀγώνων βολαῖς, ἀριστεύς ὡς ἀήττητος, πόρρω ἀπεδίωξας, τοῦ ἐνθέου πληρώματος, Μακεδονίου τήν ἀθεότητα, καί τοῦ Ἀρείου τομήν τήν βλάσφημον, μίαν Θεότητα, τρισίν ὑποστάσεσιν, ὁμολογῶν, ἄτμητον ἀσύγχυτον, καί προαιώνιον.

"Οσιε Πάτερ Μελέτιε, ἱεραρχίας στολήν, ἱερῶς περικείμενος, πρός τό καταπέτασμα, τό ἐσώτερον ἔδραμες, τά ὑπέρ λόγον μυσταγωγούμενος, καί τοῖς προσπταίουσιν ἱλεούμενος, τόν Ὑπεράγαθον, ὡς μεσίτης ἔνθεος, Ἱερουργέ, τῆς ἀγαθοδότιδος, σαφῶς χρηστότητος.

"Οσιε Πάτερ Μελέτιε, καθάπερ στῦλος φωτός, καί νεφέλη σκιάζουσα, ἀπλανῶς ὡδήγησας, τόν λαόν τοῦ Κυρίου σου, ἐκ τῆς συγχύσεως τῶν αἱρέσεων, Ὀρθοδοξίας πρός γῆν ὑπέρλαμπρον· ὅθεν τήν μνήμην σου, τήν ἁγίαν σήμερον, περιχαρῶς, πάντες ἑορτάζοντες, σέ μακαρίζομεν.

Δόξα. Ἦχος πλ. δ'.

Τῷ πυρί τῆς γλώττης σου, τῆς ἀπάτης τήν ὕλην ἐνέπρησας, Μελέτιε "Οσιε, Ἱεράρχα σοφέ· ὅθεν τῆς ἀληθείας τόν πυρσόν, τῇ Ἐκκλησίᾳ δᾳδουχῶν, τό Ὑπερούσιον φέγγος, ἐν ταῖς διανοίαις τῶν πιστῶν κατήστραψας, ἑνικόν μέν τῇ φύσει, τρισσόν τοῖς προσώποις· ᾧ καί ὡς θυσίαν εὐπρόσδεκτον, τῶν ἀρετῶν σου τόν πλοῦτον, καί τῆς πολιτείας τήν ἄθλησιν προσήγαγες. Καί νῦν τῶν μακαρίων συναγελάζων τοῖς δήμοις, ἀπαύστως ἱκέτευε, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

Δοξολογία μεγάλη καί Ἀπόλυσις.

---

Εἰς τήν Λειτουργίαν.

Τά συνήθη. Ἀπόστολον καί Εὐαγγέλιον τοῦ Ἁγίου Χρυσοστόμου, ιγ' Νοεμβρίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Μελέτη δογμάτων πανευσεβῶν, τῆς Ὀρθοδοξίας, ἀναβλύζεις τόν γλυκασμόν, καί τῆς ἀνομίας, ἐξαίρεις τήν πικρίαν, Μελέτιε παμμάκαρ, Τριάδος πρόμαχε.

www.tezaurliturgic.ro


Μεγαλυνάριον.

Μελέτη δογμάτων πανευσεβῶν, τῆς Ὀρθοδοξίας, ἀναβλύζεις τόν γλυκασμόν, καί τῆς ἀνομίας, ἐξαίρεις τήν πικρίαν, Μελέτιε τρισμάκαρ, Τριάδος πρόμαχε.

---

Δίστιχον.

Μέλημα θεῖον Μελέτιε παράσχου,
Γερασίμῳ πλέξαντι τάδε σοι μέλη.

.............

